MASTER NEGATIVE NO. 93-81380-8

AUTHOR:

WYNDHAM, GEORGE

TITLE:

EMMETRA EMMETROS METAPHRASTHENTA

PLACE:

EN PARISIOIS

DATE:

1873

Master Negative #
93-81380-8

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

[Wyndham, George,] 1813-1875

Ἔμμετρα ἐμμέτρως μεταφρασθέντα... Ἐν Παρισίοις [Gauthier-Villars], 1873.

3 pts. in 1 v. 25 cm.

Parts 2-3 have title: Ἔμμετρα ἐμμέτρως μεταφρασθέντα εἰς τὴν Ἑλλάδα γλῶσσαν τὴν ἀρχαίαν. Maisonneuve.

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm   REDUCTION RATIO: 11x

IMAGE PLACEMENT: IA (IIA) IB IIB

DATE FILMED: 5-10-93   INITIALS JAMES

FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

AIIM

Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910
301/587-8202

Centimeter

1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm

1 2 3 4 5

Inches

1.0 1.1 1.25 1.4 1.6 1.8 2.0 2.2 2.5 2.8 3.2 3.6 4.0 4.5 5.0 5.6 6.3

MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

« Ἀπίτω Μοῦσα παλαιά. »
τόδ' ἔφη τηΰσιόν τις·
μάλα γὰρ δύσμαχος ἡ γραῦς.

ΦΆΚΕΛΟΣ Α'

G. Wyndham

ἘΝ ΠΑΡΙΣΊΟΙΣ
ἜΤΟΥΣ ͵ΑΩΟΓ'
1873

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

Paris.—Gauthier-Villars, quai des Grands-Augustins, 55. — 1016-72.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

« Ἀπίτω Μοῦσα παλαιά. »
τόδ' ἔφη τηΰσιόν τις·
μάλα γὰρ δύσμαχος ἡ γραῦς.

ΦΑΚΕΛΟΣ Α′

ἘΝ ΠΑΡΙΣΙΟΙΣ
ἘΤΟΥΣ ͵ΑΩΟΓʹ
—
1873

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

HORATII CARM.

Lib. I, 1.

—

MÆCENAS, atavis edite regibus,
O et præsidium, et dulce decus meum :
Sunt quos curriculo pulverem Olympicum
Collegisse juvat, metaque fervidis
Evitata rotis, palmaque nobilis
Terrarum dominos evehit ad Deos :
Hunc, si mobilium turba Quiritium
Certat tergeminis tollere honoribus ;
Illum, si proprio condidit horreo
Quidquid de Libycis verritur areis.
Gaudentem patrios findere sarculo
Agros, Attalicis conditionibus
Nunquam dimoveas, ut trabe Cypria
Myrtoum pavidus nauta secet mare.
Luctantem Icariis fluctibus Africum
Mercator metuens, otium et oppidi

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ὉΡΑΤΊΟΥ ΕἸΔΩ͂Ν

Βιϐ. ά, εἰδ. ά.

—

ΜΑΙΚΉΝΑ, προγόνων τὺ σπόρε κοιράνων,
ὦ ἴδρυμά τ' ἔμον κἰμέροεν σέϐας,
ἔστ' οἷς ἰπποδρόμω τέρπει Ὀλυμπίκᾳ
ὀμπάσθην κονίᾳ, καὶ φλογίῳ τρόχῳ
νύσσαν προπροφύγην, καὶ κρέτος εὔκλεες
αἰώρασε πρόμοις γᾶς ἐπὶ τοὶς θέοις·
τὸν μὲν, *F*όλχος ἴτας αἴκε Κυριτέων
μαίηται τριπλόῳ ἀγλαΐσαι τέλει,
τὸν δ' αὖ, αἴκε πόη οἴκαδε συλλόγαν
πύρων τοὶς ἔπορεν παῖσα Λίϐυσσ' ἄλως.
ῥήσσην δ' ὦ σμινύᾳ εὔαδε γάπεδα
παιτρῷ', οὐκ ἀφένευς Ἀτταλίκω πότα
ἠσσήθεις Κυπρίῳ δειμάλεος δόρι
Μυρτῶον ῥόθιόν κ' ἔτμαγε ναύτιλος.
φρίσσων δ' Ἰκαρίοις κύμασιν ἔμπορος
ἐγχριμφθέντα λίϐα, στέργει ἀπραξίαν

Laudat rura sui : mox reficit rates
Quassas, indocilis pauperiem pati.
Est qui nec veteris pocula Massici,
Nec partem solido demere de die
Spernit, nunc viridi membra sub arbuto
Stratus, nunc ad aquæ lene caput sacræ.
Multos castra juvant, et lituo tubæ
Permixtus sonitus, bellaque matribus
Detestata. Manet sub Jove frigido
Venator, teneræ conjugis immemor,
Seu visa est catulis cerva fidelibus,
Seu rupit teretes Marsus aper plagas.
Te doctarum hederæ præmia frontium
Dis miscent superis; me gelidum nemus,
Nympharumque leves cum Satyris chori
Secernunt populo, si neque tibias
Euterpe cohibet, nec Polyhymnia
Lesboum refugit tendere barbiton.
Quod si me lyricis vatibus inseres,
Sublimi feriam sidera vertice.

κώμας τε σφετέρας πίσεα, σὺν δ' ἅμα
σχίστας νᾶας ἀκῆτ', οὐ πενίαν φέρων.
ἔστιν καὶ παλάω Μασσίκω ὃς δέπας,
οὔλας τ' ὀνδέκεται οὐ βράχυ ἀμέρας
ἄγρην, νῦν κομάρῳ γυῖ' ὕπο κείμενος
χλώρᾳ, νῦν δέ, βλύει ᾇ ζάθεος ῥόος·
σύχνοις θέλγει Ἄρευς καὶ βυκάνᾳ μίγας
σάλπιγγος κανάχα, μάτρασί τε στύγος
ὐσμίνα. κρυέρῳ δ' ἤδετ' ὐπαὶ Δΐϊ
ἀγρεύτας, ὄαρος μηδ' ἀλέγων νέας,
αἴ που σδὸρξ ἐφάνη ταῖς μονίμοις κύσιν,
ἢ σῦς Μάρσα ἴγραις ἔσπασεν ἄρκυας.
κίσσος δὲ κροτάφων στέμμα σόφων θέοις
προσμίσγει μ' ὐπάτοις, κᾶλσος ἀνάλιον
νυμφᾶν τ' ἰψίποδες σὺν Σατύροις χόροι
πλήθευς με ζαλέγοισ', αἴκε μὴ ὄργανα
Εὐτέρπα κατέχη, μηδὲ Πολύμνια
τέννην Λέσβιδα μοι βάρμιτον ὀμβάλη·
ἄνδρων δ' αἴκ' ἔμε θῆς τῶν λυρίκων ἔνα,
ἐνσκίμψω ὀράνῳ τὠκρότατον κάρα.

ANDRÉ CHÉNIER.

Fragment d'idylle.

ACCOURS, jeune Chromis, je t'aime et je suis belle,
Blanche comme Diane et légère comme elle,
Comme elle grande et fière; et les bergers, le soir,
Lorsque, les yeux baissés, je passe sans les voir,
Doutent si je ne suis qu'une simple mortelle,
Et, me suivant des yeux, disent : « Comme elle est belle!
Néère, ne va point te confier aux flots,
De peur d'être déesse, et que les matelots
N'invoquent, au milieu de la tourmente amère,
La blanche Galatée et la blanche Néère. »

V. HUGO, LES CHATIMENTS.

Liv. VI. 3.

Le manteau impérial.

OH! vous dont le travail est joie,
Vous qui n'avez pas d'autre proie
Que les parfums, souffles du ciel,
Vous qui fuyez quand vient décembre,
Vous qui dérobez aux fleurs l'ambre
Pour donner aux hommes le miel,

ἈΝΔΡΈΑ ΤΖΕΝΙΈ.

Εἰδυλλίου τεμάχιον.

Ὦ Χρόμι παῖ, πόταγ' ὧδ', ἔραμαι τεῦς, εἰμὶ δὲ καλά,
Ἀρτέμιδι χροιὰν ἰκέλα μάλα καὶ ταχυτᾶτα,
βλέμμα τε καὶ μᾶκος, τοὶ δ' οἰοπόλοι, ποτὶ δείλαν,
ἁνίκα μὴ λεύσσουσα καὶ ἐγκλιδὸν ὄσσε βαλοῦσα,
εἶμι πρόσω, μαστεύοντ' εἰ θνατά ποκ' ἐγώνγα,
πρὸς δέ με παπταίνοντι καί « ὡς καλά ἐστι, λέγοντι,
τὰν ἅλα φεῦγ', ὄφρα μὴ γένῃ αἶψα, Νέαιρα, θεὸς τύ,
μηδὲ κατὰ στυγερὰν ναῦται λίσσωνται ἄελλαν
καὶ λευκὰν Γαλάτειαν ὁμῶς λευκάν τε Νέαιραν. »

Β. ὙΓΩ͂ΝΟΣ ΑἹ ΠΟΙΝΑΊ.

Βιϐ. έ, εἰδ. γ'.

Ἡ βασιλικὴ χλαμὺς τῶν Ναπολεοντιδῶν.

Ἧς γάνος ἐργασίη τελέθει καὶ μοῦνα μέμηλε
ληΐζεσθ' ἃ Ζεὺς αἴθριος ἄβρὰ χέει,
ὦ φυγάδες πρὸς Ἀπελλαίου, ὦ κλέπτιδες ὀδμῆς
ἀνθέων, ὥστε δόμεν τοῖσι βροτοῖσι μέλι,

Chastes buveuses de rosée,
Qui, pareilles à l'épousée,
Visitez le lis du coteau,
O sœurs des corolles vermeilles,
Filles de la lumière, abeilles,
Envolez-vous de ce manteau!

Ruez-vous sur l'homme, guerrières!
O généreuses ouvrières,
Vous le devoir, vous la vertu,
Ailes d'or et flèches de flamme,
Tourbillonnez sur cet infâme!
Dites-lui : « Pour qui nous prends-tu?

« Maudit! nous sommes les abeilles!
« Des chalets ombragés de treilles
« Notre ruche orne le fronton;
« Nous volons, dans l'azur écloses,
« Sur la bouche ouverte des roses
« Et sur les lèvres de Platon.

« Ce qui sort de la fange y rentre.
« Va trouver Tibère en son antre,
« Et Charles Neuf sur son balcon.
« Va! sur ta pourpre il faut qu'on mette,
« Non les abeilles de l'Hymète,
« Mais l'essaim noir de Montfaucon. »

Et percez-le toutes ensemble,
Faites honte au peuple qui tremble,
Aveuglez l'immonde trompeur,
Acharnez-vous sur lui, farouches,
Et qu'il soit chassé par les mouches,
Puisque les hommes en ont peur!

ἁγναὶ ἑερσόφλυγες, θαλερὴ αἳ ἠΰτε νύμφη
φοιτᾶτ' εἰς βήσσας, λείρια μείλιχ' ἰδεῖν,
Ἠοῦς θυγατέρες, καλύκων τε ξουθαὶ ἀδελφαί,
σοῦσθέ νυν ἐκ τούτου φάρεος ὠκυπετεῖς·
μισοπόλει δέ, σοφαί, κρατερῶς μάρνασθε φονῆϊ,
κρήγυοι, αἰδοῖαι, τἀγαθὸν ᾗσι φίλον·
ἀμφιποτᾶσθε σίνιν, χρυσοπτέρυγες, φλογότοξοι,
εἴπατε δ' ὧς· « ἡμῖν σοί τε τί κοινὸν ἔφυ;
ἡμείων δὲ μελισσάων ἕστηκεν ὁ σίμβλος
πρὸ κλισίοιο παρ' ᾧ ἡμερὶς ὄσχον ἔχει·
ἡμέας δ' Ἠλέκτωρ ὁπόταν τέκῃ, ἱπτάμεθ' αἶψα
πᾶν ἐπὶ χάσμα ῥόδου, χείλεα καὶ σά, Πλάτων.
κοπρογενεῖς ἄρα κόπρος ἔχοι· σύ νυ δῦθι Νέρωνος[1]
ἄντρα καὶ ἐξώστην τοῦ ἐνάτου Καρόλου.
σαρκοδακεῖς μὲν ὅσαι μυίας ἐς ἁλουργίδα τὴν σὴν
γράψον, ἔνι· θεμιτὸν γράψαι Ὑμηττίδας οὔ. »
νύσσετε μὲν βδελυρόν, προδότην δὲ τυφλώσατε κραιπναί,
δειλὸν δ' ἠνορέῃ δῆμον ἐλέγχετ' ἄδην·
τυτθαί οἱ χαλεπὴν ἐμμάξατ' ἐρινύες ὀργήν·
ὃν δὲ τρέουσ' ἄνδρες, πτηνὸν ἄκικυ, μέτει.

[1] Τιβερίου ὃς ὠνομάζετο Tiberius Claudius Nero. Εὕρηται δὲ τὸ Νέρων ἀντὶ τοῦ Τιβέριος ἐν τῇ Παλατίνῃ Ἀνθολογίᾳ, IX, 287.

V. HUGO, LES CHATIMENTS.

Liv. VII, 15.

IL est des jours abjects, où, séduits par la joie
Sans honneur,
Les peuples au succès se livrent, triste proie
Du bonheur.

Alors, des nations que berce un fatal songe
Dans leur lit,
La vertu coule et tombe, ainsi que d'une éponge
L'eau jaillit.

Alors, devant le mal, le vice, la folie,
Les vivants
Imitent les saluts du vil roseau qui plie
Sous les vents.

Alors, festins et jeux ; rien de ce que dit l'âme
Ne s'entend ;
On boit, on mange, on chante, on danse, on est infâme
Et content.

Le crime heureux, servi par d'immondes ministres,
Sous les cieux
Rit, et vous frissonnez, grands ossements sinistres
Des aïeux.

On vit honteux, les yeux troublés, le pas oblique,
Hébété ;
Tout à coup, un clairon jette aux vents : République !
Liberté !

Et le monde, éveillé par cette âpre fanfare,
Est pareil
Aux ivrognes de nuit qu'en se levant effare
Le soleil.

Β. ὙΓΩ͂ΝΟΣ ΑΙ ΠΟΙΝΑΊ.

Βιϐ. ζ′, εἶδ. ιέ.

ΦΛΑΥ̓ΡΑΙΣ ποθ' ὥραις, φαίνεθ' ἥσσων οὖσ' ἄγαν
τρυφῆς παναίσχρου πόλις, ὅσον τ' εὐπραξίᾳ
συζῇ σέϐουσα κοὐδὲν ἄλλο. τότε δ' ὕπνῳ
δαμεὶς ὁ δῆμος οἰζυροῖς ὀνείρασι
πέποιθεν, ἀνδρῶν δ' οἴχεθ' ὡς ἐκ σφογγίου
ἀρετὴ ῥέουσα. τότε δὲ μωρίαν ἅπας
κάκην τε τὴν ἄρχουσαν ἀνοσίως κυνεῖ,
κύπτει τε πρηνὴς ὡς ἀνεμόσειστος δόναξ.
μέλει δ' ἀθύρειν πᾶσι καὶ θοινᾶν, τὰ δὲ
τοῦ νοῦ τέθνηκε · πᾶς τις ἐμπίνει φαγών,
μέλπει, χορεύει, κἀπὶ δυσκλείᾳ κομᾷ.
ὁ μὲν εὐτυχήσας προσγελᾷ διακόνοις
μιαροῖς ἀλάστωρ, ἐν δὲ κάλπισι σποδὸς
προγόνων πέφρικεν ἔργματ' οὐκ ἀνασχετά.
σκάζει δ' ὑπ' οἴνου, νωθρὸς ὄψεις τόν τε νοῦν,
σύζυξ δ' ὀνείδει, πᾶς. ἐσάλπιγξεν δ' ἄφνω ·
« δῆμος κρατείτω νῦν πόλις τ' ἐλευθέρα. »
εὐθὺς δ' ἐκείνης διάτορον κλαγγῆς μέλος
ὀρθὸν λεὼν ἵστησι, τοὺς χθὲς ὡσπεροῦν
μεθύσους ἀνίσχον ἡλίου φάος πτοεῖ.

Ἀ. Ῥ. ῬΑΓΚΑΒΗ͂ ΟἹ ΤΡΙΆΚΟΝΤΑ.

Μέρ. β', σκ. γ'.

Θηραμένης ἀγορεύει.

ΤΗ͂Ν Σπάρτην μὴ μοὶ λέγῃς. τῇ παρέδωκα
ἐγὼ δεσμίας τὰς Ἀθήνας, ἀφ' οὗ πρὶν
ταπεινωθείσας τῇ τὰς ἀπετείχισα,
καὶ τὴν σκυτάλην ἀντὶ νόμου ἔφερα
εἰς τοὺς πολίτας, κ' εἰς τὸ ἄστυ τὴν φρουράν·
ἐγώ. ἀλλ' ὄχι ὅτι τὴν Χαλκίοικον
τῆς Πολιούχου ἐπροτίμων Ἀθηνᾶς,
ὄχι τὸν νόμον ὅτι τὸν Λυκούργιον
ἀντὶ τοῦ Σολωνίου ἐνεθρόνιζον.
ἐγὼ, διότι ἔβλεπον παράφρονα
τὴν πόλιν, ὅταν ἠγωνία, σχίζουσαν
εἰς διχονοίας σπαραγμοὺς τὰς σάρκας της·
διότι ὅταν βάθος συνετῆς φρενὸς,
πραγμάτων γνῶσις καὶ καιρῶν ἐκτίμησις
θὰ διετήρει μόλις εἰς τὰς φλέβας μας
ὅσον ἡ ἧττα αἷμα ταῖς κατέλιπε,
καὶ σωφρονοῦντες μόλις θ' ἀνεπνέομεν,
ἡ παροινοῦσα τῶν δημαγωγῶν Μαινὰς
τὴν σωτηρίαν τῶν κοινῶν προέπινε.
καὶ οἱ γεννάδαι φαῦλοι πολεμοποιοί,
δειλοὶ εἰς μάχας, εἰς τὴν Πνύκα ἥρωες,
τὸν σκελετὸν τοῦ δήμου διηρέθιζον
νὰ προκαλῇ τῆς Σπάρτης τὴν ἐκδίκησιν·
ὡς μαινομένην ἔδεσα εἰς ἄλυσιν
ἡμῶν τὴν πόλιν, πρὶν ἢ αὐτοκτονηθῇ.

Ἀ. Ῥ. ῬΑΓΚΑΒΗ͂ ΟἹ ΤΡΙΆΚΟΝΤΑ.

Μέρ. β', σκ. γ'.

Θηραμένης ἀγορεύει.

ΣΠΆΡΤΗΝ ἔασον· δεσμίας μὲν τῇδ' ἐγὼ
παρέδωκ' Ἀθήνας, πρότερον ἐκκεκλασμένων
κείρας τὰ τείχη, κᾆτα δ' ἀντὶ τῶν νόμων
σκυτάλην πολίταις ὤπασα, φρουρὰν πόλει.
τάδ' ἐγὼ μέν, οὐχ ὁθούνεκ' ἦν μοι πλείονος
ἡ Χαλκίοικος τῆς Πολιάδος, οὐδ' ὅτι
τοὺς πρὸς Σόλωνος ὑπὸ Λυκουργείων νόμους
παῦσαι διέγνων. ἀλλ' ἔδρασα τοῦ χάριν;
παράφρον' ἑώρων, ὅτ' ἐσάλευε, τὴν πόλιν
στάσει φονολιβεῖ σφέτερα θραύουσαν μέλη,
καὶ δὴ πρός, ὁπόταν ποικίλης βάθος φρενός,
καιρῶν μάθησις, πραγμάτων ἐμπειρία,
ἐν φλεψὶ μέλλοι πάνυ μόλις σώζειν ὅσον
αἷμ' ἧμιν ἐγκατέλιπεν ἡ λάκαινα χείρ,
ἡμεῖς δὲ σωφρονοῦντες ἀναπνεῦσαι μόλις,
προπινόμεν' ὑπὸ θυιάδος παροινίας
τὰ κοινὰ καὶ τὰ τῇ πόλει σωτήρια,
πολεμοποιούς τε πλαστογεννάδας κακούς,
ἄνδρας μὲν ἐν Πυκνί, μέγ' ἀνάνδρους δ' ἐν μάχαις,
δήμῳ πανούργως κέντρα τῷ μικροῦ νεκρῷ
ἐπάγοντας, ὥστ' οὐκ ἂν φθάνοι δεινὰς τίνων
Λάκωσι ποινάς. μαινόλιν ἔγωγ' οὖν πέδαις
τὴν πόλιν ἔδησα, μή ποτ' αὐτόχειρ πέσοι.

FROM AN ODE OF COLERIDGE'S.

THE sensual and the dark rebel in vain,
Slaves by their own compulsion! In mad game
They burst their manacles and wear the name
Of Freedom, graven on a heavier chain.
O Liberty! with profitless endeavour
Have I pursued thee, many a weary hour;
But thou nor swell'st the victor's strain, nor ever
Didst breathe thy soul in forms of human power.
Alike from all, howe'er they praise thee
(Nor prayer nor boastful name delays thee),
Alike from Priestcraft's harpy minions,
And factious Blasphemy's obscener slaves,
Thou speedest on thy subtle pinions,
The guide of homeless winds, and playmate of the waves.
And there I felt thee! — on that sea-cliff's verge,
Whose pines, scarce travelled by the breeze above,
Had made one murmur with the distant surge.
Yes, while I stood and gazed, my temples bare,
And shot my being through earth, sea and air,
Possessing all things with intensest love,
O Liberty! my spirit felt thee there.

ἘΞ ᾨΔΗ͂Σ ΤΟΥ͂ ΚΩΛΡΙΔΤΖ.

ΜΑ͂Ψ ἐπανίστανται χθαμαλόφρονες ἡδονικοί τε·
δοῦλοι ἄρ' αὐτόματοι μάργον μεμάασιν ἀθύρειν
δέσμ' ἑὰ ῥήσσοντες, τοῖς δ' οὐ πλέον ἠὲ φορῆσαι
οὔνομ' ἐλευθερίης ἀῤῥηκτοτέρῃσι πέδῃσιν
ἐγγλυφθέν. κάλλιστον, Ἐλευθερίη, σὲ μετῆλθον
θήραμ' ἱέμενος, δηρὸν μέν, ἐτώσια δ', ἀλλ' οὐ
παιωνιζόντεσσιν ἐπὶ νίκῃ προσαείδεις,
οὐδέ ποτ' ἀνδρομέῃς ἐνστάζεαι ἡγεμονείῃς,
νόσφι δ' ἀπ' ἀνθρώπων πάντων, αἰνιζομένων περ
(οὐ γάρ τοι κατέχει σε λιτὴ οὐδ' οὔνομα λαμπρόν),
νόσφι δὲ χρησμολόγων μανίης τρεσιδαίμονος, ἠδ' αὖ
δυσκελάδων βλασφημοθέων, βδελυρωτέρου ἔθνους,
λεπταλέῃς πτερύγεσσι πέτῃ, ἀνέμων πολυπλάγκτων
ἡγέτις αὐτοκελής, πλατέος συμπαίστρια πόντου.
ἥψαο δὲ πραπίδων ἡμῖν παράλῳ ἐνὶ πέτρῃ
ᾗχι πίτυσσι μακρῆς λίγδην μαψαῦραι ἐπέπνουν,
ὄρσασαι θρόον ἀντῳδὸν τῇ ἀπωτέρω ἀκτῇ·
εὖτ' ἄρ' ἐγώ, γυμνὸς κροτάφω, θηεύμενος ἔσκον,
καὶ δι' ἁλὸς γαίης τε καὶ αἰθέρος ἦτορ ἄϊσσεν,
εὐνοίῃσιν ἀπειρεσίῃς πάντ' ἀμφαγαπάζον,
δὴ τότ', Ἐλευθερίη, τότ' ἐπῄσθετό σευ παρεούσης.

COLERIDGE.

MAID of my love, sweet Genevieve,
In beauty's light you glide along :
Your eye is like the star of eve,
And sweet your voice as seraph's song.
Yet not your heavenly beauty gives
This heart with passion soft to glow :
Within your heart a voice there lives,
It bids you hear the tale of woe.
When, sinking low, the sufferer wan
Beholds no hand outstretch'd to save,
Fair, as the bosom of the swan
That rises graceful o'er the wave,
I've seen your breast with pity heave,
And therefore love I you, sweet Genevieve.

ΚΩΛΡΙΔΤΖ.

ἉΣ ἔραμαι κώρα, γλυκυθυμοτάτα Γενοβήφα,
κάλλεος ἐν καθαραῖσι βιβᾷς αἴγλαισι, τεὸν δὲ
ἑσπέρῳ ἐστ' ἐναλίγκιον ὄμμα, καὶ ἁ τεὰ αὐδὰ
ἁδυμελὴς ὡς οὔποτ' ἀηδόνος. ἀλλὰ καὶ ἔμπας
οὔ μ' ἅβας θαλερῶ φρένας ἄνθεος ἵμερος αἱρεῖ.
σᾷ δ' ἄρ' ἐνὶ ψυχᾷ ἐνναίει ἐνδόμυχός τις
ὀμφά, ὀϊζυρῶ δέ τυ κέκλεται ἀνδρὸς ἀκούεν.
εὖτε γὰρ ὠχράσας βαρυδαίμων πίπτοι ἔραζε,
οὐδεμίαν δεδαὼς χέρ' ἀλεξήτειραν ἐοῦσαν,
στέρνον ἔγωγα τεοῦς ἰδόμαν, τόπερ ἰσοφαρίσδει
ᾧ χαρίεν κύκνος ἴσχει ὑπὲρ τὰ ῥέεθρα, πανάγνῳ
οἴκτῳ σειόμενον· τῷ τεῦς ἔραμαι, Γενοβήφα.

COLERIDGE.

Maid of my love, sweet Genevieve,
In beauty's light you glide along :
Your eye is like the star of eve,
And sweet your voice as seraph's song.
Yet not your heavenly beauty gives
This heart with passion soft to glow :
Within your heart a voice there lives,
It bids you hear the tale of woe.
When, sinking low, the sufferer wan
Beholds no hand outstretch'd to save,
Fair, as the bosom of the swan
That rises graceful o'er the wave,
I've seen your breast with pity heave,
And therefore love I you, sweet Genevieve.

ΚΏΛΡΙΔΤΖ.

Ἇς ἔραμαι κώρα, γλυκυθυμοτάτα Γενοβήφα,
κάλλεος ἐν καθαραῖσι βιβᾷς αἴγλαισι, τεὸν δὲ
ἑσπέρῳ ἐστ' ἐναλίγκιον ὄμμα, καὶ ἁ τεὰ αὐδὰ
ἁδυμελὴς ὡς οὔποτ' ἀηδόνος. ἀλλὰ καὶ ἔμπας
οὔ μ' ἅβας θαλερῶ φρένας ἄνθεος ἵμερος αἱρεῖ.
σᾷ δ' ἄρ' ἐνὶ ψυχᾷ ἐνναίει ἐνδόμυχός τις
ὀμφά, ὀϊζυρῶ δέ τυ κέκλεται ἀνδρὸς ἀκούεν.
εὖτε γὰρ ὠχράσας βαρυδαίμων πίπτοι ἔραζε,
οὐδεμίαν δεδαὼς χέρ' ἀλεξήτειραν ἐοῦσαν,
στέρνον ἔγωγα τεοῦς ἰδόμαν, τόπερ ἰσοφαρίσδει
ᾧ χαρίεν κύκνος ἴσχει ὑπὲρ τὰ ῥέεθρα, πανάγνῳ
οἴκτῳ σειόμενον· τῷ τεῦς ἔραμαι, Γενοβήφα.

SCHILLER'S GEDICHTE.

1er Theil.

—

Odysseus.

ALLE Gewässer durchkreutz', die Heimath zu finden, [Odysseus,
Durch der Scylla Gebell, durch der Charybde Gefahr,
Durch die Schrecken des feindlichen Meers, durch die Schrec- [ken des Landes,
Selber in Aides Reich führt ihn die irrende Fahrt.
Endlich trägt das Geschick ihn schlafend an Ithakas Küste,
Er erwacht und erkennt jammernd das Vaterland nicht.

SCHILLER'S GEDICHTE.

1er Theil.

—

Archimedes und der Schüler.

ZU Archimedes kam ein wissbegieriger Jüngling :
« Weihe mich, sprach er zu ihm, ein in die göttliche Kunst,
Die so herrliche Frucht dem Vaterlande getragen
Und die Mauern der Stadt vor der Sambuca beschützt. »
« Göttlich nennst du die Kunst? Sie ist's, versezte der Weise,
Aber das war sie, mein Sohn, eh' sie dem Staat noch gedient.
Willst du nur Früchte von ihr, die kann auch die sterbliche [zeugen;
Wer um die Göttin freit, suche in ihr nicht das Weib. »

ΣΧΙΛΛΕΡΟΥ ΠΟΙΗΜ.

Μέρ. ά.

—

Ὀδυσσεύς.

ΠΑΤΡΊΔΟΣ ἱμείρων, πᾶν λαῖτμ' ἐπέρησεν Ὀδυσσεύς,
ἔνθα Σκύλλα βοήν, χάσμα Χάρυβδις ἔχει,
εἰν ἁλί δ' αἰνὰ πάθεν στυγερῇ καὶ λύγρ' ἐπὶ χέρσου,
ἧς δ' ὑπ' ἀλημοσύνης εἰς Ἀΐδεω κατέβη·
ὀψὲ δὲ μοῖρ' Ἰθάκῃ ἐπέλασσέ μιν ὑπνώοντα,
ἀλλὰ δὴ οὐκ ἔγνω τὴν πατρίδ' ἐγρόμενος.

ΣΧΙΛΛΕΡΟΥ ΠΟΙΗΜ.

Μέρ. ά.

—

Ἀρχιμήδης καὶ ὁ μαθητής.

ΠΡΌΣ Ἀρχιμήδην φιλομαθὴς νεανίας
ἐλθὼν « μύησόν μ', εἶπε, τὴν θείαν τέχνην
ἥπερ τοσοῦτον ὠφέλησε τὴν πάτραν
βέλεμνά τ' ἤρκεσεν τὰ σαμβύκης πόλει. »
ὁ σοφός· « φρονεῖς, παῖ, τὴν τέχνην θείαν λέγων,
θεία δὲ τὴν πόλιν πρὶν ἦν ἣ 'δρασεν εὖ.
τόκου δὲ χρῄζεις δὴ μόνου; θνητὴ δότω·
γυναῖκα μὴ ζήτει, θεὰν σὺ μνώμενος. »

SCHILLER'S GEDICHTE.

1er Theil.

—

Odysseus.

ALLE Gewässer durchkreutz', die Heimath zu finden,
[Odysseus,
Durch der Scylla Gebell, durch der Charybde Gefahr,
Durch die Schrecken des feindlichen Meers, durch die Schrec-
[ken des Landes,
Selber in Aides Reich führt ihn die irrende Fahrt.
Endlich trägt das Geschick ihn schlafend an Ithakas Küste,
Er erwacht und erkennt jammernd das Vaterland nicht.

SCHILLER'S GEDICHTE.

1er Theil.

—

Archimedes und der Schüler.

ZU Archimedes kam ein wissbegieriger Jüngling :
« Weihe mich, sprach er zu ihm, ein in die göttliche Kunst,
Die so herrliche Frucht dem Vaterlande getragen
Und die Mauern der Stadt vor der Sambuca beschützt. »
« Göttlich nennst du die Kunst? Sie ist's, versezte der Weise,
Aber das war sie, mein Sohn, eh' sie dem Staat noch gedient.
Willst du nur Früchte von ihr, die kann auch die sterbliche
[zeugen ;
Wer um die Göttin freit, suche in ihr nicht das Weib. »

ΣΧΙΛΛΕΡΟΥ ΠΟΙΗΜ.

Μέρ. ά.

—

Ὀδυσσεύς.

ΠΑΤΡΙΔΟΣ ἱμείρων, πᾶν λαῖτμ' ἐπέρησεν Ὀδυσσεύς,
ἔνθα Σκύλλα βοήν, χάσμα Χάρυϐδις ἔχει,
εἰν ἁλί δ' αἰνὰ πάθεν στυγερῇ καὶ λύγρ' ἐπὶ χέρσου,
ἧς δ' ὑπ' ἀλημοσύνης εἰς Ἀΐδεω κατέϐη·
ὀψὲ δὲ μοῖρ' Ἰθάκῃ ἐπέλασσέ μιν ὑπνώοντα,
ἀλλὰ δὴ οὐκ ἔγνω τὴν πατρίδ' ἐγρόμενος.

ΣΧΙΛΛΕΡΟΥ ΠΟΙΗΜ.

Μέρ. ά.

—

Ἀρχιμήδης καὶ ὁ μαθητής.

ΠΡΟΣ Ἀρχιμήδην φιλομαθὴς νεανίας
ἐλθὼν « μύησόν μ', εἶπε, τὴν θείαν τέχνην
ἥπερ τοσοῦτον ὠφέλησε τὴν πάτραν
βέλεμνά τ' ἤρκεσεν τὰ σαμϐύκης πόλει. »
ὁ σοφός· « φρονεῖς, παῖ, τὴν τέχνην θείαν λέγων,
θεία δὲ τὴν πόλιν πρὶν ἣν ἤ 'δρασεν εὖ.
τόκου δὲ χρῄζεις δὴ μόνου; θνητὴ δότω·
γυναῖκα μὴ ζήτει, θεὰν σὺ μνώμενος. »

SCHILLER'S GEDICHTE.

2er Theil.

Die Antiken zu Paris, 1800.

WAS der Griechen Kunst erschaffen,
Mag der Franke mit den Waffen
Führen nach der Seine Strand,
Und in prangenden Museen
Zeig'er seine Siegstrophäen
Dem erstaunten Vaterland.

Ewig werden sie ihm schweigen,
Nie von den Gestellen steigen
In des Lebens frischen Reihn.
Der allein besitzt die Musen,
Der sie trägt im warmen Busen,
Dem Vandalem sind sie Stein.

ΣΧΙΛΛΕΡΟΥ ΠΟΙΗΜ.

Μέρ. β'.

Βοναπάρτης τὰ ἀρχαῖα κειμήλια τοὺς νικηθέντας ἀφαιρεῖται.

ΚΟΙΡΑΝΕΩΝ τάπερ Ἑλλήνων σοφίη τέκε Γάλλος
αἱρέτω εἰς ὄχθας Σηκοάνα σφετέρου,
δειξάσθω δ' ἐνὶ θνητοῖς μεγάροισι τροπαῖα
δερκομένοις ἀδινῷ θάμβει ὁμοπτόλισιν.
ἀλλ' οἱ θεσπιεπὴς τέχνη σιγήσεται αἰεί,
οὐδ' εἶσ' ἐκ βάθρων εἰς βιότοιο χάριν·
τίς γὰρ ἔχει Μούσας; — ὁ φέρων εἰν ἤτορι πρηεῖ,
τοῖσι δ' ὑβριστῇσιν κεῖναι ἔασι λίθος.

Paris. — Imprimerie de GAUTHIER-VILLARS, quai des Grands-Augustins, 55.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ΕΙΣ ΤΗΝ ΕΛΛΑΔΑ ΓΛΩΣΣΑΝ ΤΗΝ ΑΡΧΑΙΑΝ.

« Ἀπίτω Μοῦσα παλαιά. »
τόδ' ἔφη τηΰσιόν τις·
μάλα γὰρ δύσμαχος ἡ γραῦς.

ΦΑΚΕΛΟΣ Β'

ἘΝ ΠΑΡΙΣΙΟΙΣ
Παρὰ τοῖς βιβλιοπώλαις MAISONNEUVE καὶ κοινωνοῖς,
Ἐν τῇ παραποταμίᾳ Βολταῖρος, ἀρ. 15.
ἜΤΟΥΣ ΑΩΟΓ'
1873

Τῷ Κυρίῳ Ἐγγι

Παπυλάκως

ὁ μεταφράστης

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

Εἰς τὴν ἑλλάδα γλῶσσαν τὴν ἀρχαίαν.

Paris. — Imp. Gauthier-Villars, quai des Grands-Augustins, 55. — 1138-73.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ΕἸΣ ΤῊΝ ἙΛΛΑΔΑ ΓΛΩ͂ΣΣΑΝ ΤῊΝ ἈΡΧΑΙ͂ΑΝ

« Ἀπίτω Μοῦσα παλαιά. »
τόδ' ἔφη τηΰσιόν τις·
μάλα γὰρ δύσμαχος ἡ γραῦς.

ΦΆΚΕΛΟΣ Β′

ἘΝ ΠΑΡΙΣΊΟΙΣ
Παρὰ τοῖς βιβλιοπώλαις MAISONNEUVE καὶ κοινωνοῖς,
Ἐν τῇ παραποταμίᾳ Βολταῖρος, ἀρ. 15.
ἜΤΟΥΣ ͵ΑΩΟΓ′

1873

Τῷ Κυρίῳ ΑΙΜΙΛΙΩι ΛΕΓΡΑΝΔΙΩι,

τῷ

Κειμένων Νεοελληνικῶν Συλλογὴν

φιλοτίμως καὶ οὐ τῇ τυχούσῃ φιλοπονίᾳ ἐκδιδόντι,

τἄνδον προσφωνεῖ

ὁ μεταφράσας.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ANDRÉ CHÉNIER.

La jeune captive.

« L'ÉPI naissant mûrit de la faux respecté;
Sans crainte du pressoir, le pampre tout l'été
Boit les doux présents de l'aurore;
Et moi, comme lui belle, et jeune comme lui,
Quoi que l'heure présente ait de trouble et d'ennui,
Je ne veux pas mourir encore.

Qu'un stoïque aux yeux secs vole embrasser la mort,
Moi je pleure et j'espère; au noir souffle du nord
Je plie et relève ma tête.
S'il est des jours amers, il en est de si doux!
Hélas! quel miel jamais n'a laissé de dégoûts?
Quelle mer n'a point de tempête?

L'illusion féconde habite dans mon sein.
D'une prison sur moi les murs pèsent en vain,
J'ai les ailes de l'espérance:
Échappée aux réseaux de l'oiseleur cruel,
Plus vive, plus heureuse, aux campagnes du ciel
Philomèle chante et s'élance.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ἈΝΔΡΈΑ ΤΖΕΝΙΈ.

Ἡ δεσμῶτις κόρη.

« Ἄ ΣΤΑΧΥΣ ἡβώων δρεπάνης ἐπαέξεται ὄκνῳ,
ληνοῦ δ' οὐκ ἀλέγουσα, θέρους δι' ἄμπελος οὔλου
στάγμ' Ἠοῦς γλυκὺ πίνει, ἐγὼ δὲ νέη τ' ἰδανή τε
ὡς αὕτη, ὥρης περ ἄσας τε καὶ ἄλγος ἐχούσης,
οὔπω βούλομ' ἀποθνήσκειν. ξηροῖς μὲν ἀτειρὴς
ὀφθαλμοῖσιν ἀνὴρ Ἀΐδι σπέρχοιτο μιγῆναι,
κλαίω ἐγὼ δὲ καὶ ἔλπομαι· ἣν δὲ Βορῆς ζοφερὸς πνῇ,
πτώσσω μέν, πάλιν ὀρθοῦμαι δ'· ὡς ἤματ' ἀδευκῆ,
οὕτως αὖ γλυκύδωρα πέλει· μέλιτος δὲ τεῦ οὐκὶ
γέντο κόρος; τί δὲ λαῖτμά νυν οὐ δονέουσι θύελλαι;
ναίει δ' αὐταπάτη ἐν ἐμῇς φρεσὶ ληθομέριμνος,
λαΐνεόν τε μάτην καταΐσχει μ' ἕρκος, ἔχω γὰρ
Ἐλπωρῆς πτερά· θηρευτοῦ δ' ὠμοῖο φυγοῦσα
δίκτυα, νῦν γε θοὴ καὶ πάγχυ μάλ' ὀλβιόθυμος,
ὑψόσε παλλομένη λίγ' ἀοιδιάει Φιλομήλη·

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ANDRÉ CHÉNIER.

—

La jeune captive.

« L'ÉPI naissant mûrit de la faux respecté;
Sans crainte du pressoir, le pampre tout l'été
Boit les doux présents de l'aurore;
Et moi, comme lui belle, et jeune comme lui,
Quoi que l'heure présente ait de trouble et d'ennui,
Je ne veux pas mourir encore.

Qu'un stoïque aux yeux secs vole embrasser la mort,
Moi je pleure et j'espère; au noir souffle du nord
Je plie et relève ma tête.
S'il est des jours amers, il en est de si doux!
Hélas! quel miel jamais n'a laissé de dégoûts?
Quelle mer n'a point de tempête?

L'illusion féconde habite dans mon sein.
D'une prison sur moi les murs pèsent en vain,
J'ai les ailes de l'espérance:
Échappée aux réseaux de l'oiseleur cruel,
Plus vive, plus heureuse, aux campagnes du ciel
Philomèle chante et s'élance.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ἈΝΔΡΈΑ ΤΖΕΝΙΈ.

—

Ἡ δεσμῶτις κόρη.

« Ἄ ΣΤΑΧΥΣ ἡβώων δρεπάνης ἐπαέξεται ὄκνῳ,
ληνοῦ δ' οὐκ ἀλέγουσα, θέρους δι' ἄμπελος οὔλου
στάγμ' Ἠοῦς γλυκὺ πίνει, ἐγὼ δὲ νέη τ' ἰδανή τε
ὡς αὕτη, ὥρης περ ἄσας τε καὶ ἄλγος ἐχούσης,
οὔπω βούλομ' ἀποθνήσκειν. ξηροῖς μὲν ἀτειρὴς
ὀφθαλμοῖσιν ἀνὴρ Ἀΐδι σπέρχοιτο μιγῆναι,
κλαίω ἐγὼ δὲ καὶ ἔλπομαι· ἣν δὲ Βορῆς ζοφερὸς πνῇ,
πτώσσω μέν, πάλιν ὀρθοῦμαι δ'· ὡς ἤματ' ἀδευκῆ,
οὕτως αὖ γλυκύδωρα πέλει· μέλιτος δὲ τεῦ οὐκὶ
γέντο κόρος; τί δὲ λαῖτμά νυν οὐ δονέουσι θύελλαι;
ναίει δ' αὐταπάτη ἐν ἐμῇς φρεσὶ ληθομέριμνος,
λαΐνεόν τε μάτην καταΐσχει μ' ἕρκος, ἔχω γὰρ
Ἐλπωρῆς πτερά· θηρευτοῦ δ' ὠμοῖο φυγοῦσα
δίκτυα, νῦν γε θοὴ καὶ πάγχυ μάλ' ὀλβιόθυμος,
ὑψόσε παλλομένη λίγ' ἀοιδιάει Φιλομήλη·

Est-ce à moi de mourir ? Tranquille je m'endors,
Et tranquille je veille, et ma veille aux remords
Ni mon sommeil ne sont en proie.
Ma bienvenue au jour me rit dans tous les yeux ;
Sur des fronts abattus, mon aspect dans ces lieux
Ranime presque de la joie.

Mon beau voyage encore est si loin de sa fin !
Je pars, et des ormeaux qui bordent le chemin
J'ai passé les premiers à peine.
Au banquet de la vie à peine commencé,
Un instant seulement mes lèvres ont pressé
La coupe en mes mains encor pleine.

Je ne suis qu'au printemps, je veux voir la moisson ;
Et comme le soleil, de saison en saison,
Je veux achever mon année.
Brillante sur ma tige et l'honneur du jardin,
Je n'ai vu luire encor que les feux du matin,
Je veux achever ma journée.

O mort ! tu peux attendre; éloigne, éloigne-toi ;
Va consoler les cœurs que la honte, l'effroi,
Le pâle désespoir dévore.
Pour moi Palès encore a des asiles verts,
Les Amours des baisers, les Muses des concerts ;
Je ne veux pas mourir encore. »

Ainsi, triste et captif, ma lyre toutefois
S'éveillait, écoutant ces plaintes, cette voix,
Ces vœux d'une jeune captive ;
Et secouant le faix de mes jours languissants,
Aux douces lois des vers je pliais les accents
De sa bouche aimable et naïve.

Ces chants, de ma prison témoins harmonieux,
Feront à quelque amant des loisirs studieux
Chercher quelle fut cette belle :
La grâce décorait son front et ses discours,
Et, comme elle, craindront de voir finir leurs jours
Ceux qui les passeront près d'elle.

ἦ θανέειν ἐμόν ἐστιν ; ἔγωγε μὲν ἥσυχος εὕδω,
ἐγρήγορθα δ' ὁμῶς · καὶ ἐμοὶ οὐ σίνεται ὕπνον
οὔτ' ἀγρυπνίην τίσις · ἠδ' ἐπ' ἐμοὶ γεγαυίῃ
πάντες ἀγάλλονται, οἷς δὲ φθινύθει φίλον ἦτορ
αὐτόθι φαινομένη τοὺς γηθοσύνῃ τάχ' ἰαίνω.
ἡ καλή μοι ὁδοιπορίη πέλει ὡς ἀτέλεστος !
οἰχνεῦσα πτελέας αἳ προσπεφύασιν ἀταρπῷ
τὰς πέλας ἤμειψα · ζωῶν δ' ἐνὶ δαιτὶ νέηλυς
οὐδὲ ἓν ἢ ἐδίηνα τὰ χείλεα κράματι βαιῷ,
ἡ δὲ κύλιξ μένει ἡμετέρῃς ἐνὶ χείρεσι πλείη ·
ἦρ πάρα · βούλομ' ἰδεῖν θέρος, ἠδὲ καί, ἠέλιος ὥς,
τοὐμὸν ἔτος περιτελλομένων ὡρῶν ποτ' ἀνύσσαι.
λαμπρὴ δ' ἐν θαλλῷ, κήποιό τε κῦδος ἐοῦσα,
εἶδον ἐγὼ Φαέθοντα τὸν ὄρθριον, οὔτινα δ' ἄλλον ·
ἦμαρ τοίνυν ἐμόν ποτε, βούλομαι ἦμαρ ἀνύσσαι.
ὦ ἀπέχου, Ἀίδη, ἀναχάζεο, βάσκ' ἴθι θέλξων
οὓς αἶσχος καὶ τάρβος ἀελπτίη τε κελαινή
κάββαλ', ἐμοὶ γὰρ ἔχει ξανθὴ λάσι' ἄγκεα Δηώ,
ἱρὰ μέλη δ' αἱ Μοῦσαι, Ἔρως δὲ φιλήματα λαρά.
ἦ θην τεθνάμεναι νῦν ἤδη βούλομαι οὐκί. »

Ὣς ἄρ' ἀδημονέων ἦα φρεσὶ καὶ δεσμώτης,
ἡνίκα δὲ θρῆνόν τε δετῆς αὐδήν τε καὶ εὐχὰς
παρθενικῆς ἐσάκουον ἐγώ, τότε θυμοβόροιο
κῆρ' ἀποσεισάμενος καμάτοιο, προσῆψα θέμιστας
μέτρων μειλιχίας οἷσιν παῖς εὔχαρις εἶπε,
δεσμῶν δ' οἷς ἐδέθην καὶ ἐγὼ τόδ' ἄεισμα συνίστωρ
τὸν πινυτῆς λέσχης φίλον ὀτρυνέει ἐρεείνειν
ἥτις ἔην · σὺ δ' ἄρ' ἴσθι δέμας καλὴν γεγονυῖαν,
οὐχ ἄχαριν δὲ λέγειν, δείσεσθαι δ', ὥσπερ ἐκείνη,
παυσομένῳ βιότῳ πέρι τοὺς παρά οἱ διάγοντας.

*

BYRON.

MAID of Athens, ere we part,
Give, oh, give me back my heart!
Or, since that has left my breast,
Keep it now, and take the rest!
Hear my vow before I go,
Ζωή μου, σᾶς ἀγαπῶ.

By those tresses unconfined,
Woo'd by each Ægean wind;
By those lids whose jetty fringe
Kiss thy soft cheeks' blooming tinge;
By those wild eyes like the roe,
Ζωή μου, σᾶς ἀγαπῶ.

By that lip I long to taste;
By that zone-encircled waist;
By all the token-flowers that tell
What words can never speak so well;
By love's alternate joy and woe,
Ζωή μου, σᾶς ἀγαπῶ.

Maid of Athens! I am gone:
Think of me, sweet! when alone.
Though I fly to Istambol,
Athens holds my heart and soul:
Can I cease to love thee? No!
Ζωή μου, σᾶς ἀγαπῶ.

ΒΎΡΩΝΟΣ.

α'.

ΠΡÌΝ ἀπαλλαγῶμεν, Ἀτθί, νώ,
τάς μου πάλιν δός μοι φρένας,
μᾶλλον δ' (ἐκεῖναι γὰρ ἔφυγον
δραπέτιδες) ἔχε καὶ τἄλλο πᾶν.
ἀπιόντος εὖγμ' ἄκουέ μου,
σέθεν ἔραμαι, ζόη 'μή.

β'.

νὴ τούσδ' ἀδέσμους, παίγνια
πνοαῖσιν Αἰγαίαις, πλόκους,
σά τε βλέφαρ' ὧν περκναὶ τρίχες
κυνοῦσι τὴν θαλερὰν γένυν,
σά τε βλέμμαθ' οἷα καὶ νεβροῦ,
σέθεν ἔραμαι, ζόη 'μή·

γ'.

νὴ χεῖλος οὗ 'δήχθην πόθῳ
καὶ ζωνόδεσμον σὸν δέμας,
νὴ τρανὲς ἀνθέων τέκμαρ
φωνῆς ἐνάρθρου κρεισσόνων,
ἃ δ' ἔχει χαρὰν ἄχη τ' ἔρως,
σέθεν ἔραμαι, ζόη 'μή.

δ'.

νυνὶ μὲν οἴχομ', Ἀτθὶ παῖ,
γλυκεῖα δ' ἄρα μέμνησό μου·
κεἰ πάνυ γ' ἄπειμ' εἰς τὴν Πόλιν,
ψυχὴν ἔχει χθὼν ἥδ' ἐμήν·
σὲ γὰρ φιλῶν πῶς παύσομαι;
σέθεν ἔραμαι, ζόη 'μή.

Σημ. Οὐ τετύπωται τὸ ἄνω ᾆσμα, εἰ μὴ δούσης τὴν ἄδειαν τῆς ὑμνηθείσης, Αὐτῇ δὲ συγχαίρομεν ἐξ ἀρχῆς ἀπαλλαγείσῃ οὗπερ ἄλλοι πεπόνθασι καὶ ἄλλαι, carent quia vate sacro.

Τὰ δὲ ἐς τὸ μέτρον, περιττὸν εἰπεῖν ὅτι ἑκάστη στροφὴ ἐξ ἰαμβικῶν σύγκειται διμέτρων, τῶν μὲν πέντε ἀκαταλήκτων, τοῦ δὲ ἑνὸς καταληκτικοῦ.

BECKER.

—

Le Rhin allemand.

ILS ne l'auront pas, le libre Rhin allemand, quoiqu'ils le demandent dans leurs cris comme des corbeaux avides;

Aussi longtemps qu'il roulera paisible, portant sa robe verte; aussi longtemps qu'une rame frappera ses flots.

Ils ne l'auront pas, le libre Rhin allemand, aussi longtemps que les cœurs s'abreuveront de son vin de feu;

Aussi longtemps que les rocs s'élèveront au milieu de son courant; aussi longtemps que les hautes cathédrales se refléteront dans son miroir.

Ils ne l'auront pas, le libre Rhin allemand, aussi longtemps que de hardis jeunes gens feront la cour aux jeunes filles élancées.

Ils ne l'auront pas, le libre Rhin allemand, jusqu'à ce que les ossements du dernier homme soient ensevelis dans ses vagues.

Σημ. Ἀποβαλόντες τύχῃ τὸ ἀντίτυπον τοῦ ἀρχετύπου, Sie sollen ihn nicht haben, κ. τ. λ., οὐκ ἠδυνήθημεν ἕτερον πορίσασθαι, συναποτυχόντος καὶ τοῦ πρώτου τῶν ἐνθάδε Γερμανῶν βιβλιοπωλῶν. Παρακείσθω οὖν ἡ γαλλικὴ κατὰ λέξιν ἑρμηνεία ἣν ἔτους τοῦ 1840 τῷ ἑαυτοῦ ᾄσματι προσῆψεν Ἀλφρέδος δὲ Μυσσέτ.

ΒΕΚΚΕΡΟΥ.

—

Ὁ Τεύτων Ῥῆνος.

ἝΞΟΥΣΙ Ῥῆνον τόνδε Τεύτον' οὔποτε,
τὸν ἄφετον, (εἰ καὶ κόρακες ὣς ἀδηφάγοι
κράζοντες αἰτίζουσιν), ἔστ' ἂν ἡσύχως
εἶμ' ἐνδεδυμένος ῥῇ χλοῆρες, ἔστε δ' ἂν
ἐρετμοῖσι τύπτῃ νᾶμα κωπήρης ἀνήρ.
ἕξουσι Ῥῆνον τόνδε Τεύτον' οὔποτε,
τὸν ἄφετον, ἔστ' ἂν φλεγυρὸν ἐντεῦθεν μέθυ
τέγγῃ τὸν ὧδε πνεύμον', ἔστε δ' ἂν ῥοὰς
ὕπερ ἔνθα κἄνθα λέπας ἀνίσχῃ, καὶ νεῴ
ἐν τῷ κατόπτρῳ στῶσι φανοὶ θὔδατος.
ἕξουσι Ῥῆνον τόνδε Τεύτον' οὔποτε,
τὸν ἄφετον, ἔστ' ἂν οἱ θρασεῖς νεανίαι
πειρῶσι ῥαδινὰς εἵνεκεν γάμου κόρας.
ἕξουσι Ῥῆνον τόνδε Τεύτον' οὔποτε,
τὸν ἄφετον, ἀνδρὸς μέχρι τοῦ πανυστάτου
κρύψῃ θανόντος Ῥῆνος ὅδε τὰ λείψανα.

ALFRED DE MUSSET.

Réponse à la chanson de Becker.

NOUS l'avons eu, votre Rhin allemand ;
Il a tenu dans notre verre.
Un couplet qu'on s'en va chantant
Efface-t-il la trace altière
Du pied de nos chevaux marqué dans votre sang?

Nous l'avons eu, votre Rhin allemand.
Son sein porte une plaie ouverte,
Du jour où Condé triomphant
A déchiré sa robe verte.
Où le père a passé, passera bien l'enfant.

Nous l'avons eu, votre Rhin allemand.
Que faisaient vos vertus germaines,
Quand notre César tout-puissant
De son ombre couvrait vos plaines ?
Où donc est-il tombé, ce dernier ossement ?

Nous l'avons eu, votre Rhin allemand.
Si vous oubliez votre histoire,
Vos jeunes filles, sûrement,
Ont mieux gardé notre mémoire ;
Elles nous ont versé votre petit vin blanc.

ἈΛΦΡΈΔΟΥ ΔῈ ΜΥΣΣΈΤ.

Ἀπάντησις πρὸς τὸ Βεκκέρειον ᾆσμα.

ῬΗ͂ΝΟΝ τὸν ὑμῶν ἔσχομεν τὸν Τεύτονα·
σκύφος δέ νιν θἠμέτερον ἔχαδ᾽· ἦ δὲ σθένει
τὸ βακχέβακχον τὰ φοβέρ᾽ ἐκμάσσειν ἴχνη
ἵππων, ἔβαψαν οἵπερ αἵμασιν πόδας;
Ῥῆνον τὸν ὑμῶν ἔσχομεν τὸν Τεύτονα·
πλατὺ δ᾽ οἱ κέχηνεν ἕλκος ἐν τοῖς στήθεσιν,
ἐξ οὗ τὸ γλαυκὸν φᾶρός οἱ Κονδεὺς δορὶ
ἔσχισε· τεκόντι ταὐτὰ καὶ δίεισι παῖς·

Ῥῆνον τὸν ὑμῶν ἔσχομεν τὸν Τεύτονα·
τί δ᾽ ἔδρασ᾽ ὁ Τεύτων θυμός, ἡνίκα σκιᾷ
θυμεδαπὸν ἰδίᾳ κατεκάλυπτ᾽ Ἄρης πέδον
ὁ Κελτός; ὀστοῦν δ᾽ ἔπεσε ποῖ τοὖθ᾽ ὕστατον;
Ῥῆνον τὸν ὑμῶν ἔσχομεν τὸν Τεύτονα·
εἰ λῆστις ὑμῖν δ᾽ ἐστὶ τῶν δεδραμένων,
μνήμων γε μᾶλλον τᾶλίς ἐσθ᾽ ἡ Τευτονίς·
τὸν κιῤῥὸν ἡμῖν ἥδε γὰρ ἐκίρνα χάλιν (1).

(1) Λέγοντος δὴ ἐνταῦθα τοῦ ποιητοῦ κατὰ τοὺς δεκαδάρχους, πρότερον μὲν ἐποιήσαμεν τὸν στίχον οὑτωσί·

Τὸ κιῤῥὸν ἡμῖν ἥδε γὰρ ἔχε᾽ οἰνάριν·

πεπείσμεθα γὰρ ὅτι ἐπὶ Φιλίππου τοῦ Ἀμύντα ἤδη ἔλεγον οἰνάριν, δέον

S'il est à vous, votre Rhin allemand,
Lavez-y donc votre livrée ;
Mais parlez-en moins fièrement.
Combien, au jour de la curée,
Étiez-vous de corbeaux contre l'aigle expirant ?

Qu'il coule en paix, votre Rhin allemand ;
Que vos cathédrales gothiques
S'y reflètent modestement ;
Mais craignez que vos airs bachiques
Ne réveillent les morts de leur repos sanglant.

οἰνάριον, οἱ ἀμαθεῖς, ἐν οἷς οἱ δεκάδαρχοι, Πυργοπολυνίκης καὶ Θρασυλέων, οἱ τότε Ratapoil καὶ Chauvin. ἀλλ' ἠναντιώθη Κειτούκειτος· μὴ γὰρ κεῖσθαι τὸ οἰνάριν παρὰ ἀρχαιοτέρῳ τινὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ('Εκθεσ. τῆς βασ. τάξεως 463, 14).

ὑμέτερος εἰ δ' οὖν ἐστὶ ῥοῦς Τεύτων ὅδε,
πλύνετε μὲν εὐθὺς τὴν στολὴν τὴν θητικήν,
τούτου δὲ φείδεσθε μεγαληγορεῖν πέρι·
πόσοι παρῆτε κόρακες, ὅτ' ἔθνησχ' ἀετός;
ῥείτω δὲ Ῥῆνος ἀτρεμὴς Τεύτων ὅδε·
κύμασι δ' ἀτύφως ἐγγράφηται σχήματα
ναῶν· παροίνοις ἀλλὰ δείδιτ', ὦγαθοί,
μήποτ' ἐγερεῖτε τοὺς κεκμηκότας βοαῖς.

VINCENZO FILICAIA.

ITALIA, Italia, o tu cui feo la sorte
Dono infelice di bellezza, ond' hai
Funesta dote d' infiniti guai (1)
Che in fronte scritti per gran doglia porte;
Deh fossi tu men bella, o almen più forte,
Onde assai più ti paventasse, o assai
T' amasse men chi del tuo bello a i rai
Par che si strugga, e pur ti sfida a morte!
Ch' or giù dall'Alpi non vedrei torrenti
Scender d'armati, e del tuo sangue tinta
Bever l'onda del Po gallici armenti;
Nè te vedrei, del non tuo ferro cinta,
Pugnar col braccio di staniere genti,
Per servir sempre o vincitrice o vinta.

(1) Οὐ ταὐτὰ μέν, ἀλλά γε ἀδελφὰ τὰ Εὐριπίδεια (Ἑλένη, 27, 304):

Ἐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές.

Αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
Γυναῖκες, ἡμᾶς δ' αὐτὸ τοῦτ' ἀπώλεσεν.

ΒΙΚΕΝΤΙΟΥ ΦΙΛΙΚΑΪΑ.

Ἰ ΤΑΛΙΗ, τῇπερ δῶρόν ποτ' ἄδωρον ὄπασσε
κάλλος θευμορίη, ὅθεν ἦ ῥά σε πένθος ἵκανε
μυρίον, εὐρὺ λυγρῆς δ' ἐπιδέδρομεν ἀμφὶ μετώπῳ
σῆμα κακηπελίης, ὢ αἴθ' ἔτυχες μέγ' ἐλάσσων
εἶδος ἐοῦσ', ἢ ἀντίπαλον σύ γε δῆριν ἀρείων,
ὄφρα σε πεφρίκοι πλέον ἠέ σευ ἧσσον ἐρῴη
ὃς σῇσιν δοκέει μὲν τήκεσθαι χαρίτεσσιν,
οὐλόμενον δ' ἐπάγει σοι Ἄρηα. τότ' οὐκ ἂν ὁρῴης
στίφεα θωρηκτῶν Ἀλπειόθεν ἐκβαίνοντα,
τῶν Γάλλων τ' ἀγέλας πινούσας Ἠριδανοῖο
Ἰταλικῷ λύθρῳ πεπαλαγμένου, οὐδὲ χρεώ σοι
οὐ τεὸν ἦν φορέειν ξίφος, ὀθνείης δὲ μάχεσθαι
χερσίν, ἵνα κρείσσων θητεύῃς ἠὲ καὶ ἥσσων.

ALFRED TENNYSON.

In Memoriam LXXIII.

AS sometimes in a dead man's face,
To those that watch it more and more,
A likeness, hardly seen before,
Comes out — to some one of his race:

So, dearest, now thy brows are cold,
I see thee what thou art, and know
Thy likeness to the wise below,
Thy kindred with the great of old.

But there is more than I can see,
And what I see I leave unsaid,
Nor speak it, knowing Death has made
His darkness beautiful with thee.

ἈΛΦΡΈΔΟΥ ΤΕΝΝΎΣΩΝΟΣ.

Φίλῳ τεθνεῶτι.

ὩΣ ἔσθ' ὅτ' ἀνδρός του ῥέθος τεθνηκότος
ἅπαξ ἀθροῦσιν ἢ δὶς οὔκ, ἔπειτα δὲ
λέληθε μᾶλλον μᾶλλον ἐμφερὲς δοκοῦν
τινὶ τῶν ξυναίμων, σὲ πανομοίως, φίλτατε,
ὄντ' ἐν καμοῦσιν ὅστις εἶ κάτοιδ' ἐγώ,
ὅσον δ' ἔοικας, ὦ σύ, τοῖς νέρθεν σοφοῖς,
καὶ συγγενὴς εἶ τοῖς πάλαι ποτ' ἐκκρίτοις.
ἀλλ' ὧν δέδορκα πλείον' ἔσθ', ἅτινα δ' ὁρῶ
ἄῤῥητ' ἐάσω δή· τὸν αὑτοῦ γὰρ σκότον
ἐπὶ σοὶ τέθεικεν ἵλεως Αΐδης καλόν.

MOLIÈRE.

Chanson de Sganarelle.
(*Médecin malgré lui*, act. I, sc. VI.)

QU'ILS sont doux,
Bouteille jolie,
Qu'ils sont doux,
Vos petits glougloux !
Mais mon sort ferait bien des jaloux,
Si vous étiez toujours remplie ;
Ah ! bouteille ma mie,
Pourquoi vous videz-vous ?

ΜΟΛΙΕΡΟΥ.

ᾈσμάτιον Σγαναρέλλου (1).
Ἐκ τῆς κωμῳδίας Ὁ πρὸς βίαν ἰατρός.

ΕΥ̓ΦΥῈΣ λάγυνε, πέλεται
φθόγγος ὁ τεὸς ἡδύς, ἡδύς·
μυρίοι δ' ἄν μοι φθονοῖεν,
μεστὸς εἴγ' ἦσθ', ὦ μέλ', αἰεί.
προσφιλέστατ' ὦ λάγυνε,
τοῦ χάριν κενός ποτ' εἶ;

(1) Τροχαϊκοῖς διμέτροις, τοῖς μὲν πέντε ἀκαταλήκτοις, τῷ τελευταίῳ δὲ καταληκτικῷ.

Τυπώσομεν δὲ ὕστερόν ποτε ἐντελῆ τῆς κωμῳδίας ταύτης ἐξελλήνισιν, ἐπισυνημμένων παρεκβολῶν ἐν αἷς περὶ τῆς νεοελληνικῆς πολλά.

Paris. — Imp. Gauthier-Villars.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ΕΙΣ ΤΗΝ ΕΛΛΑΔΑ ΓΛΩΣΣΑΝ ΤΗΝ ΑΡΧΑΙΑΝ

« Ἀπίτω Μοῦσα παλαιά. »
τόδ' ἔφη τηΰσιόν τις·
μάλα γὰρ δύσμαχος ἡ γραῦς.

ΦΑΚΕΛΟΣ Γ'

ΈΝ ΠΑΡΙΣΙΟΙΣ
Παρὰ τοῖς βιβλιοπώλαις MAISONNEUVE καὶ κοινωνοῖς,
Ἐν τῇ παραποταμίᾳ Βολταῖρος, ἀρ. 15.
ἜΤΟΥΣ ͵ΑΩΟΓ'
1873

Τῷ Κυρίῳ [illegible].

Πράκτορι τῆς [illegible],

πανευλαβῶς

ὁ μεταφράσας.

Τῷ Κυρίῳ Ἴλγκ.

Πράκτορι τῆς [illegible],

πανευλαβῶς

ὁ μεταφράσας.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

Εἰς τὴν ἑλλάδα γλῶσσαν τὴν ἀρχαίαν.

Paris.— Imp. Gauthier-Villars, 55, quai des Grands-Augustins.— 1896-73.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ΕἸΣ ΤῊΝ ἙΛΛΆΔΑ ΓΛΩ͂ΣΣΑΝ ΤῊΝ ἈΡΧΑΊΑΝ

« Ἀπίτω Μοῦσα παλαιά. »
τόδ' ἔφη τηΰσιόν τις·
μάλα γὰρ δύσμαχος ἡ γραῦς.

ΦΆΚΕΛΟΣ Γ'

ἘΝ ΠΑΡΙΣΊΟΙΣ
Παρὰ τοῖς βιβλιοπώλαις MAISONNEUVE καὶ κοινωνοῖς,
Ἐν τῇ παραποταμίᾳ Βολταῖρος, ἀρ. 15.
ἜΤΟΥΣ ͵ΑΩΟΓ'

1873

Τῷ Κυρίῳ ΑἸΜΙΛΊΩι ΛΕΓΡΑΝΔΊΩι

ὁ τἄνδον μεταφράσας εὖ πράττειν.

ΠΥΘΌΜΕΝΟΣ ἐπιτιμᾶν τινας τῷ ἑλληνιστί, ὃέον δῆθεν νεοελληνιστί, γράφειν ἀντιποιουμένῳ, ἐρέσθαι δὲ εἰ οὗτος οἷόν τε εἶναι ἥγηται τὴν ἀρχαίαν φωνὴν ἐξ ἀχρηστίας ἐν τοῖς Ἕλλησιν ἀνασώζειν, διέγνωκα ὅ τι τούτου πέρι νομίζω ξυνελὼν εἰπεῖν ἐν ταύτῃ τῇ πρὸς σὲ ἐπιστολῇ, ὄντα τῶν ἐν Γαλλίᾳ ἐπὶ τῇ νεοελληνικῇ φιλοπονώτατα καὶ τοῖς συμφιλολογοῦσιν ὠφελιμώτατα διατριβόντων.

ὃ πλειστάκις κομποῦσιν οἱ τῆς νεοελληνικῆς προϊστάμενοι ἐστὶ ταύτης ὁ ἀναλυτικὸς χαρακτὴρ καὶ ἡ ἐντεῦθεν ὡς πρὸς τὴν ἀρχαίαν μείζων σαφήνεια. πλεονέκτημα μὲν οὐ σμικρὸν ἡ σαφήνεια, ἀλλὰ καὶ τὰ τοῦ ἄγαν ὑστερήματα πρὸ ὀφθαλμῶν λαβεῖν οὐ παραλειπτέον. εἴρηκε γὰρ φιλόλογος τῶν πάνυ τὰς γλώττας τὰς σαφεστάτας μὴ καὶ τὰς καλλίστας εἶναι, τὸ δὲ εἰς τὸ ἀναλυτικώτερον καὶ ὁμαλώτερον μεταπλάττεσθαι μὴ γεγονέναι, πολλοῦ γε καὶ δεῖ,

ταὐτὸν ἄντικρυς τῷ βελτιοῦσθαι (E. Renan, *Hist. des langues sémitiques*, V, I). τούτοις οὖν ξυμφερόμενος, οὐκ ἂν ὅμως μέχρι τοῦ διϊσχυρίσασθαι προβαίην εἶναι τὸ οὗ οὐκ ἄνευ ἐν πᾶσι τὸ ἐνδελεχῶς καλόν, ὥσπερ ὧν ἡ πόλις παίδευσις ἦν τῆς Ἑλλάδος οἱ πάλαι σοφοί, ἀλλά γε βλάβος εἶναι τὴν τοῦ καλοῦ μείωσιν φαίην ἄν, εἰ μὴ ἄλλην χαλεπωτέραν ἀσθένειαν ἠσθένει ἡ ὑμνουμένη σαφήνεια. πάντως γὰρ λεῖπον φαίνεται ὃ προσποιεῖται αὕτη κύριον ὄφελος, τὸ παραλογισμοὺς συστέλλειν. οἱ οὖν μάλιστα κατ' Εὐρώπην ἐπὶ τῇ τῆς πατρίου φωνῆς σαφηνείᾳ βρενθυόμενοι εἰσὶν οὐχ ἧττον τῷ ἄλογα καὶ ἄτοπα λέγειν τε καὶ γράφειν ἔκδοτοι ἢ ἄλλοι μὴ οὕτω μέγα φρονεῖν ἐπ' ἐναργείᾳ δυνάμενοι.

ἀπωσάμενος δὲ τὴν περὶ τοῦ σαφοῦς μεγαληγορίαν, οὐδὲν ἧττον ὁμολογῶ μὴ οἷόν τε εἶναι γλῶτταν, εἰ ἀπεσβήκοι, οὕτως ἀποκαθιστάναι, ὥστε πάλιν αὐτὴν τοὺς πολλοὺς ἱέναι· τεκμήριον δὲ ἓν ὧν ἂν ῥᾳδίως συλλέξειέ τις μυρίων, ὃ γίγνεσθαι φιλεῖ ἐν Ἑλλάδι, πειρωμένων ἔσθ' ὅτε σοφῶν τινων τὴν ἀρχαίαν διαλέγεσθαι γλῶτταν· ἐπιεικῶς γὰρ εὐῤῥοεῖ ὁ διάλογος ὥραν ὡς περὶ ἡμίσειαν, ὕστερον δὲ τοὺς διαλεγομένους λανθάνει ἐξοκέλλων εἰς τὴν συνήθειαν τὴν μητροπαράδοτον.

καὶ εἰ μὴ εἵμαρτο τοῦτο τὸ ἀνυπέρβλητον, δέοι ἂν πολλὰ πρότερον περὶ τὴν προφορὰν μεταβεβλῆσθαι· οὐδεὶς γὰρ ὅστις οὐκ οἶδε παρακμάζοντος τοῦ ἑλληνισμοῦ τὸν περισσὸν εἰσφρήσαντα ἰωτακισμόν (illud flebile iota) πάντων αἰτιώτατον καταστῆναι τοῦ ἐκπεσεῖν μὲν λέξεις τε καὶ φράσεις οὐκ εὐαριθμήτους (διαφευκτέον γὰρ ἦν τὸ ἐκ τοσαύτης ὁμοφωνίας ἄδηλον), ἑτέρας δὲ

βαρβάρους καὶ σολοίκους παραληφθῆναι. ἀλλ' ἐντεῦθεν οὐκ ἂν παραδοκῴη τις φάρμακον οὐδὲ ἕν, ἐπειδήπερ ὁπουδήποτε τῆς οἰκουμένης ἀπὸ ταὐτομάτου καὶ εἰκῇ, ἀλλ' οὐκ ἐξεπίτηδες, γίγνονται εἴτινες περὶ προφορὰν μεταβολαί.

ταῦτα τοίνυν περὶ μοίρας γλωττῶν ἀνάγκῃ κείμενα φαίνεται· ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται, τὸ τοῦ Κείου. οὐ μὴν ἀλλὰ τὴν ἀρχαίαν ἐφικτὸν ὑπάρχει ὡς γραφομένην ἐν Ἕλλησι γλῶτταν ἀποκαθιστάναι, εἰ μὴ ἐν πάσαις, ἀλλά γε ἔν τισιν ὑποθέσεσι· μὴ ἐνδέχεσθαι δὲ οὐδείς, οἶμαι, ἀρνήσεται· μὴ ἐοικέναι γὰρ μεγάλως τῇ ἀρχαίᾳ τὴν κομψοτέραν νεοελληνικὴν αἱ πολλαὶ διαφθοραὶ οὐ κωλύουσι. πρὸς δὲ βοηθήσει καὶ ὅτι αἱ χυδαῖαι αὗται λῶβαι οὐδέποτε κατὰ τὸν μεσαίωνα δι' εὐφυεστάτων ποιημάτων ἢ ξυγγραμμάτων ἐκυρώθησαν ἢ ὡς ἔπος εἰπεῖν καθωσιώθησαν, ὡς ἐπὶ ταῖς νεολατίναις ξυνέβη γενέσθαι γλώτταις. τοῦτο οἱ μὲν εὐτύχημα κρίνουσιν, οἱ δὲ δυστύχημα. ἐγὼ δὲ μᾶλλον ἂν τούτοις ἢ ἐκείνοις ξυμφωνοίην ἄν· μὴ γὰρ μεινασάσης ἐν τοῖς κυρίοις ἀκεραίου τῆς ἀρχαίας, νεοχμήν τινα κρεῖττον ἂν ἦν γλῶτταν ἀναφυῆναι πάνοπλον. τότε δὴ οὐκ ἂν διασπῴη τοὺς Ἕλληνας αὕτη ἡ περὶ γλώττης ἀπέραντος ἀμφισβήτησις, ἡ οὐδεμιᾶς οὖσα δευτέρα τὸ κατακορὲς εἰ μὴ τῆς ὅταν μὴ λύσιμος ᾖ περὶ πολιτείας. ἀλλὰ παιζούσης κατέλαβε τῆς τύχης διαφθαρῆναι τὴν πάλαι φωνήν, εἴτε περισσῶς, ὡς ἐν τοῖς ἄνωθεν ὑπῄνιγμαι, εἴτε μεῖον τοῦ δέοντος, ἐπεί τοι ἀπερίσκεπτος οὐκ ὀλίγους οἴησις ὕπεισιν εὐχερῆ εἶναι τὴν ἴασιν.

ἃ μὲν ἐγὼ περὶ τοῦ ζητήματος φρονῶ, οὐ μέγα διήλλαχεν, εἰ μὴ γνώμης ἁμαρτάνω, ὧν ὁ ἐλλογιμώτατος Ἕλλην Φίλιππος Ἰωάννου,

ὁ τοσαῦτα φωνῇ τῇ ἀρχαίᾳ μετ' ἄκρας δεινότητος ξυγγράψας καὶ ποιήσας. τοιγαροῦν καθηγουμένου τοῦ τοιούτου ἀνδρός, πᾶς τις διατελείτω; ὡς τανῦν, διαλεγόμενος, παρεισδυομένων ἀεὶ εἰς τὴν ἀνὰ χεῖρας ὁμιλίαν μεταβολῶν τῶν μὲν ἐπὶ τὸ βέλτιον, τῶν δὲ ἴσως ἐπὶ τὸ χεῖρον· γραφέτω δὲ τὴν μὲν χυδαίαν ὁ ᾀσμάτια ποιῶν ἄρεια ἢ ἐρωτικὰ ἢ παροίνια, ἐπὶ δὲ ταῖς πλείσταις ὑποθέσεσι τὴν καθαρεύουσαν νεοελληνικήν, ὅταν δὲ μὴ τοσοῦτον δέῃ τῆς περισκελοῦς σαφηνείας, τὴν ἀρχαίαν, εἰ βούλεται. ἡ δὲ ἕξις τοῦ ἑλληνιστὶ γράφειν, εἰ λάβοι αὐτὴν ἡ ἑλληνὶς νεολαία, ὠφελήσειεν ἂν τὴν νεοελληνικήν, μεῖζον δὲ ἴσως διὰ τὸ βοηθητικῆς ἐπιδείξεως ἀμέτοχος εἶναι. ἐπεὶ οὖν ἐγὼ μὲν δῆλός εἰμι ὅτι οὐκ ἐπιβουλεύω τῇ νεοελληνικῇ, κενοσπουδίαν δ' οὐκ ἔσθ' ὅπως οὐκ ὀφλήσει εἴ τις τοιαῦτα μηχανήσεται, πέπαυμαι. ἔῤῥωσο.

τῇ α' Ὀκτωβρίου μηνός, ἔτει δὲ τῷ ͵αωογ'.

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

MILLEVOYE.

La Chute des feuilles.

De la dépouille de nos bois
  L'automne avait jonché la terre ;
Le bocage était sans mystère,
Le rossignol était sans voix.
Triste, et mourant à son aurore,
Un jeune malade, à pas lents,
Parcourait une fois encore
Le bois cher à ses premiers ans :
« Bois que j'aime ! adieu... je succombe.
Ton deuil m'avertit de mon sort ;
Et dans chaque feuille qui tombe
Je vois un présage de mort.
Fatal oracle d'Épidaure,
Tu m'as dit : « Les feuilles des bois
« A tes yeux jauniront encore,
« Mais c'est pour la dernière fois.
« L'éternel cyprès se balance ;
« Déjà sur ta tête en silence
« Il incline ses longs rameaux :
« Ta jeunesse sera flétrie
« Avant l'herbe de la prairie,
« Avant le pampre des coteaux. »

ΕΜΜΕΤΡΑ ΕΜΜΕΤΡΩΣ

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ

ΜΙΛΒΟΪΟΥ.

Ἡ Φυλλόῤῥοια.

ΛΗΓΕΝ μὲν λυκάβας, χύτο δ' ἄσπετα φύλλα, νέμει δ' ἦν
    οὐκ ἔτι κευθμών, οὐ γῆρυς ἀηδονίδι·
θυμοβαρὴς δ' ἄρ' ἀνήρ (ἥβης γὰρ ἔθνησκεν ἐν ἄνθει)
    ἔστειχε βραδύπους ᾗ φίλον ἧστο δρίος·
ᾗ δέ· φίλη, μέγα χαῖρε, νάπη· σός μοι μόρος οἶτου
    μηνυτήρ, ἄμμιν δ' αἴσιμα φυλλοβολεῖς.
πέφραδ' Ἀκεστορίη· « ἔτ' ἐόντος ἐπὶ χθονὶ σεῖο,
    σχήσει φύλλα χλόος, καὶ πύματόν περ, ἅπαξ.
ἀέναος δὲ πέλας κυπάρισσος, ἣ αἰόλλουσα
    κλίνει ἀκὴν ταναοὺς σὸν περὶ κρᾶτα κλάδους·
σὴ δ' ἀκμὴ φθίσθαι μέλλει, πρὶν ἢ ἡλιοκαύστῳ
    ἡμερὶς ἐν σκοπέλῳ, ποίη ἐν εἰαμενῇς. »

Et je meurs! De leur froide haleine
M'ont touché les sombres autans ;
Et j'ai vu, comme une ombre vaine,
S'évanouir mon beau printemps.
Tombe, tombe, feuille éphémère!
Couvre, hélas! ce triste chemin;
Cache au désespoir de ma mère
La place où je serai demain.
Mais si mon amante voilée,
Au détour de la sombre allée,
Venait pleurer quand le jour fuit,
Éveille par un léger bruit
Mon ombre un instant consolée. »
Il dit, s'éloigne..... et sans retour...
La dernière feuille qui tombe
A signalé son dernier jour.
Sous le chêne on creusa sa tombe...
Mais son amante ne vint pas
Visiter la pierre isolée,
Et le pâtre de la vallée
Troubla seul du bruit de ses pas
Le silence du mausolée.

καί μοι πότμος ἔπι· κρυερὸς ῥά μευ ἥψατ' ἀήτης,
ᾤχετο καὶ τοὐμὸν καλλιπέτηλον ἔαρ·
πενθαλέην δ' οἴμην ἐπίκευθ', ὦ φύλλ' ἀμενηνά,
μὴ δάῃ ἡ μήτηρ, αὔριον οὗ ἔσομαι.
ἢν δέ ποθ' ἧς ἔραμαι κούρη κίῃ ἑσπερινῇσιν
ὥρῃς κλαυσομένη ἔνθ' ὁδὸς ἐνστρέφεται,
ὦ ψόφει, ἐγρόμενον δ' ἕξει με παρήγορον ἄλκαρ. »
εἶπε μέν, ἐσσόμενος δ' οὐ παλίνορσος ἔβη.
εὖτε γὰρ ὑστάτιον φύλλον πέσε, τὸν κίχε μοῖρα·
δὴ τότε τύμβος ὑπαὶ τῇ δρυῒ τῇδε χύθη·
ἀλλ' ἡ μὲν κούρη οὐκ ἤλυθε, μηλοβοτὴρ δὲ
ὕπνου ἀποφθίμενον μοῦνος ἔπαυσε ποδί.

BYRON.

OH Rome! my country! city of the soul!
The orphans of the heart must turn to thee,
Lone mother of dead empires! and control
In their shut breasts their petty misery.
What are our woes and sufferance? Come and see
The cypress, hear the owl, and plod your way
O'er steps of broken thrones and temples, Ye!
Whose agonies are evils of a day —
A world is at our feet as fragile as our clay.

The Niobe of nations! there she stands,
Childless and crownless, in her voiceless woe;
An empty urn within her wither'd hands,
Whose holy dust was scatter'd long ago;
The Scipios' tomb contains no ashes now;
The very sepulchres lie tenantless
Of their heroic dwellers: dost thou flow,
Old Tiber! through a marble wilderness?
Rise, with thy yellow waves, and mantle her distress.

ΒΥΡΩΝΟΣ.

῾ΡΩΜΗ, πατρὶς ἐμή, Νόου αὐτόπολις τελέθουσα,
ὥς σέ γε φοιτώντων φρένας ὀρφανοί, ὦ σὺ καμόντων
μῆτερ ἐρημαίη κρατέων, στήθεσσι δ' ἀνίην
τὴν τυτθὴν ἐγκρυψάντων· τίς ἄρ' ἄμμιν ὀϊζύς,
τίς δ' ὀδύνη; — κυπάρισσον μὲν θηεῖσθε μολόντες,
γλαυκὸς ἀκουάζεσθ', ἀκμῆσι δὲ βαίνετε ποσσὶν
νηοὺς συντριφθέντας ὕπερ θώκους τε τυράννων,
οἳ ῥα μινυνθαδίοις πημαινόμενοι ἀχέεσσι·
μυρία γὰρ κέαται, σκήνους οὐ κρείσσονα τοῦδε.
ὥς τις παμμήτωρ Νιόβη, ἕστηκε σιωπῇ
ἀστέφανος καὶ ἄπαις καὶ κάλπιν ἐν ἐσκληκυίῃς
χερσὶν ἔχουσα κενήν· δὴν γὰρ κόνις ὤλετο ἱρή·
Σκηπιαδῶν ῥα μένει ἐν μνήμασιν οὐκέτι τέφρη,
ἥρωες δὲ τάφους λίπον ἐξελαθέντες ἀγαυοί.
ὦ Θύμβρι πρέσβιστε, λιθόδμητόν περ, ἐρῆμον
ἂμ πέδον οὐχὶ ῥέεις; χλοερὸν δ' οὖν εἱμένος οἶδμα
ἔξελθε, γρηὸς δ', ἐπαρωγέ, κάλυψον ὀϊζύν.

BYRON.

OH Rome! my country! city of the soul!
The orphans of the heart must turn to thee,
Lone mother of dead empires! and control
In their shut breasts their petty misery.
What are our woes and sufferance? Come and see
The cypress, hear the owl, and plod your way
O'er steps of broken thrones and temples, Ye!
Whose agonies are evils of a day —
A world is at our feet as fragile as our clay.

The Niobe of nations! there she stands,
Childless and crownless, in her voiceless woe;
An empty urn within her wither'd hands,
Whose holy dust was scatter'd long ago;
The Scipios' tomb contains no ashes now;
The very sepulchres lie tenantless
Of their heroic dwellers: dost thou flow,
Old Tiber! through a marble wilderness?
Rise, with thy yellow waves, and mantle her distress.

ΒΥ̓ΡΩΝΟΣ.

῾ΡΏΜΗ, πατρὶς ἐμή, Νόου αὐτόπολις τελέθουσα,
ὥς σέ γε φοιτώντων φρένας ὀρφανοί, ὦ σὺ καμόντων
μῆτερ ἐρημαίη κρατέων, στήθεσσι δ' ἀνίην
τὴν τυτθὴν ἐγκρυψάντων· τίς ἄρ' ἄμμιν ὀϊζύς,
τίς δ' ὀδύνη; — κυπάρισσον μὲν θηεῖσθε μολόντες,
γλαυκὸς ἀκουάζεσθ', ἀκμῆσι δὲ βαίνετε ποσσὶν
νηοὺς συντριφθέντας ὕπερ θώκους τε τυράννων,
οἵ ῥα μινυνθαδίοις πημαινόμενοι ἀχέεσσι·
μυρία γὰρ κέαται, σκήνους οὐ κρείσσονα τοῦδε.
ὥς τις παμμήτωρ Νιόβη, ἕστηκε σιωπῇ
ἀστέφανος καὶ ἄπαις καὶ κάλπιν ἐν ἐσκληκυίῃς
χερσὶν ἔχουσα κενήν· δὴν γὰρ κόνις ὤλετο ἱρή·
Σκηπιαδῶν ῥα μένει ἐν μνήμασιν οὐκέτι τέφρη,
ἥρωες δὲ τάφους λίπον ἐξελαθέντες ἀγαυοί.
ὦ Θύμβρι πρέσβιστε, λιθόδμητόν περ, ἐρῆμον
ἂμ πέδον οὐχὶ ῥέεις; χλοερὸν δ' οὖν εἱμένος οἶδμα
ἔξελθε, γρηὸς δ', ἐπαρωγέ, κάλυψον ὀϊζύν.

ἈΘΑΝ. ΧΡΗΣΤΟΠΟΥΛΟΥ.

ΚΛΕΦΤΗ κώνωπα, κὴ αὐθάδη,
πῶς τολμοῦσες κάθε βράδυ,
καὶ τζιμποῦσες μέσ' 'ς τὸ στρῶμα
τὴν ἀγάπην μου 'ς τὸ στόμα;
πῶς τὰ χείλη της τζιμπῶντας,
καὶ τὸ αἷμά της ῥουφῶντας,
δὲν λυπούσουν νὰ μὴ χάσουν
τὴν βαφήν τους, καὶ χλωμιάσουν;
δὲν σ' τὸ εἶπα πῶς ζηλεύω,
καὶ συχνὰ παραμονεύω;
κὴ ἂν σὲ πιάσω, θὰ σὲ γδάρω,
τὴν ἐκδίκησιν νὰ πάρω;
τί λοιπὸν σὲ πρέπει τώρα,
ὅπου ἦλθ' ἐκείν' ἡ ὥρα;
καὶ πιασμένον 'ς τὴν παγίδα
μέσ' 'ς τὰ χέρια μου σὲ εἶδα;
δίκηον ἦταν νὰ σὲ σφίξω,
νὰ σὲ πνίξω, νὰ σὲ δείξω,
πῶς κρυφὰ κρυφὰ τολμοῦσες,
καὶ τὴν νύχτα τὴν τζιμποῦσες.
πάλ' ἐγ' ὅμως, πάλιν κλίνω,
καὶ σὰν εὔσπλαγχνος σ' ἀφίνω.
πλὴν φυλάξου μὴ τολμήσῃς
'ς τὸ ἑξῆς νὰ τὴν τζιμπήσῃς·
ἐπειδὴ σὲ βεβαιόνω,
καὶ φρικτότατα σ' ὀμόνω,
μὰ τὰ χείλη ποῦ δαγκάνεις,
ἂν σὲ πιάσω, θ' ἀποθάνῃς.

ἈΘΑΝ. ΧΡΗΣΤΟΠΟΥΛΟΥ.

ΚΩΝΩΨ, ἀναιδὲς ὦ κλοπεῦ,
τίποθ' ἧς ἐρῶ 'τόλμας δάκνειν,
ἐν δεμνίοισιν ἑσπέρας,
τὸ στόμα; χελύνας μὲν κόρης
κεντῶν, τὸ δ' αἷμ' ἀναῤῥοφῶν,
πῶς τὴν ἐρυθρόχρων οὐ βαφὴν
ἤλγεις ἐκείνων ἐκφθίνειν;
ἐγὼ γὰρ εἶπόν σοι· « σκοπῶν
ζήλων ἐγρήγορ' εἵνεκεν,
μάρψας δέ σ' ἐνδίκως δερῶ. »
τίς δ' οὖν προσῆκε νῦν τίσις
σοὶ τέλος ἁλόντι, καὶ χεροῖν
ἐμαῖν ἀνάγκαις δεσμίῳ;
σφῖγξαι δίκαιον ἦν σε δή,
πνῖξαί τε καὶ φρενοῦν, ἐπεὶ
κρυφίῳ πανοῦργος ὢν βέλει
νύκτωρ σφ' ἔτυπτες· ἔγωγε δ' αὖ
τεγχθεὶς ὑπ' οἴκτου νῦν σ' ἐῶ.
πλὴν σύ γε φύλαξαι μὴ κνίσῃς
πάλιν ποτέ· λέγω γὰρ ἀτρεκῶς
καὶ πρός γε κάρτ' ὄμνυμι, ναὶ
χεῖλος ὅπερ ἂν δακὼν ἁλῷς,
ἦ μήν σε, κλώψ, θανεῖσθαι.

ANDRÉ CHÉNIER.

Byzance. — 1793.

BYZANCE, mon berceau, jamais tes janissaires
Du musulman paisible ont-ils forcé le seuil ?
Vont-ils jusqu'en son lit, nocturnes émissaires,
Portant l'épouvante et le deuil ?

Son harem ne connaît, invisible retraite,
Le choix, ni les projets, ni les noms des visirs.
Là, sûr du lendemain, il repose sa tête,
Sans crainte au milieu des plaisirs.

Que cent nouvelles lois qu'une nuit a fait naître,
De juges assassins un tribunal pervers,
Lancent sur son réveil, avec le nom de traître,
La mort, la ruine ou les fers ;

Tes mœurs et ton Coran sur ton sultan farouche
Veillent, le glaive nu, s'il croyait tout pouvoir,
S'il osait tout braver, et dérober sa bouche
Au frein de l'antique devoir.

Voilà donc une digue où la toute-puissance
Voit briser le torrent de ses vastes progrès !
Liberté qui nous fuis, tu ne fuis point Byzance,
Tu planes sur ses minarets !

ἈΝΔΡΕΑ ΣΕΝΙΕΡΟΥ.

Βυζάντιον.

ΕἼΠ', ὦ τεκοῦσά μ', εἰπέ, Βύζαντος πόλις,
εἰ μουσλέμου ποθ' ἡσύχου του τοξότης
θύρας ἔαξεν, ἐμβαλὼν κατὰ κνέφας
τοῖς δεμνίοισι δεῖμα καὶ γόους πικρούς.
ὁ γὰρ γυναικών, καταφυγὴ σωτηρίας,
τίνες διακονοῦσι, τίνι μέριμνα τίς
οὐκ οἶδε, καί (πέφηνεν ἡ 'πιοῦσα γὰρ
ἄσειστος) ἐν φιληδίαις ὅδ' ἠρεμεῖ.
θέμις εἰ νεουργή, μυρίαν ἣν νὺξ μία
τέτοκεν, ἀνόσιον στῖφος εἰ λόγῳ βραβεῖς
αὐτοῦ παλοῦσι καθ', ὅτε γίγνητ' ἂν φάος,
δεσμῶν ἀνάγκας, θάνατον, οὐσίας φθοράν,
ἤθη τε Κουράν (1) τ' ἐγγύθεν σκοπεῖ τὸ σὸν
ὠμοῦ τυράννου τὸν βίον ξιφηφόρα,
μήποτε προβαίνῃ τόλμαν εἰς ἀμήχανον,
ἢ παρὰ τὰ ῥητὰ τοῦ παλαιφάτου καλοῦ.
ταῦτ' ἐστὶ χώματ', ἔνθα θραύεται λάβρα
πλημμυρὶς ὕβρεως, ἡ δ' ἐλευθέρων Τύχη,
ἡμᾶς φυγοῦσα, τήν γε Βύζαντος πόλιν
οὐκ ἔφυγες, αὐτὴν δὲ σὺ πολεῖς μετάρσιος.

(1) Κουράν — Κωνσταν. Πορφυρογένν.

AUGUSTE BARBIER.

AINSI, passez, passez, monarques débonnaires,
Doux pasteurs de l'humanité;
Hommes sages, passez comme des fronts vulgaires
Sans reflet d'immortalité!
Du peuple vainement vous allégez la chaîne;
Vainement, tranquille troupeau,
Le peuple sur vos pas, sans sueur et sans peine,
S'achemine vers le tombeau:
Sitôt qu'à son déclin votre astre tutélaire
Épanche son dernier rayon,
Votre nom qui s'éteint sur le flot populaire
Trace à peine un léger sillon.
Passez, passez, pour vous point de haute statue;
Le peuple perdra votre nom;
Car il ne se souvient que de l'homme qui tue
Avec le sabre ou le canon;
Il n'aime que le bras qui, dans des champs humides,
Par milliers fait pourrir ses os;
Il aime qui lui fait bâtir des pyramides,
Porter des pierres sur le dos.
Passez! le peuple, c'est la fille de taverne,
La fille buvant du vin bleu,
Qui veut dans son amant un bras qui la gouverne,
Un corps de fer, un œil de feu,
Et qui, dans son taudis, sur sa couche de paille,
N'a d'amour chaud et libertin
Que pour l'homme hardi qui la bat et la fouaille
Depuis le soir jusqu'au matin.

ΑΥ̓ΓΟΎΣΤΟΥ ΒΑΡΒΙΈΡΟΥ.

Ἐ ΣΣΗ͂ΝΕΣ ἀγαθοί, (μοῖρα γάρ) περάσατε,
βροτῶν τε πρᾶοι ποιμένες,
ἄνδρες τ', ἄσημος οἷ' ὄχλος, περάσατε,
κλέους ἄτερ, σοφώτατοι·
παύετε γὰρ ἄχθη στυγερὰ τοῖς πολλοῖς μάτην,
μάτην δ', ἄφροντι ποίμνιον,
ὁ δῆμος ὑμῶν ἄπονος ἐξηγουμένων
Ἅιδου δόμοισι χρίμπτεται·
ὅταν δ' ἑκάστου χρηστὸς ἀστὴρ κεκλίκοι,
χέῃ δὲ φέγγος ὕστατον,
τοὔνομα παλίρρῳ σβεσθὲν ἐν δήμου σάλῳ
ἴχνει βραχεῖ χαράττεται.
περάσατ'· οὐχ ὑμῖν μέγιστ' ἀγάλματα,
οὐ δῆμος ὑμῶν σώσεται
ὀνόματα, τἀνδρὸς γὰρ μόνου μνήμων, ξίφει
τοῦ κτάντος ἢ βλητῷ πυρί,
στέργει τὸν ὑγρῷ θέντα μυρίων πέδῳ
ὀστᾶ σαπῆναι μυρία,
τὸν φορτίσαντα βαρέσι τοὺς ὤμους λίθοις,
πυραμίδας ᾧ ταγῷ δέμει.
περάσαθ'· ἡ καπηλίς ἐστι γὰρ κόρη
ὁ δῆμος, οἶνον ἀμφίαν
πίνουσ', ἐραστὴν δ' οἱ θέλουσα κράντορα,
φυὴν σιδηροῦν καὶ βλέπος
πυρόεντα, σάμακι πρὸς δὲ κειμένη, μόνου
ἐρᾷ, Φιλαινίδος τρόπον,
τοῦ θρασέος, αὐτὴν κονδύλοις ὅστις σποδεῖ
ἀφ' ἑσπέρας εἰς τὴν ἕω.

LOUIS MÉNARD.

Crémutius Cordus.

LES peuples vieillis ont besoin d'un maître;
Ce n'est plus en eux qu'ils cherchent la loi.
Dans un autre siècle il m'eût fallu naître :
Il n'est point ici de place pour moi.

L'idéal qu'avait rêvé ma jeunesse,
L'étoile où montaient mes espoirs perdus,
Ce n'était pas l'art, l'amour, la richesse,
C'était la justice, et je n'y crois plus.

Mais je suis bien las de ces tyrannies
Qu'adore en tremblant le monde à genoux;
Peuples énervés, races accroupies,
Nous léchons les pieds qui marchent sur nous.

Le présent est plein d'odieuses choses,
L'avenir est morne et désespéré :
Si l'on peut choisir ses métempsycoses,
Ce n'est pas ici que je renaîtrai.

Quand la mort, brisant la dernière fibre,
Au limon natal viendra m'arracher,
S'il est quelque part un astre encor libre,
Là-haut, dans l'éther, je l'irai chercher.

ΛΟΥΔΟΒΊΚΟΥ ΜΕΝΆΡΔΟΥ.

Οἷα ἂν εἴποι Κρεμούτιος Κόρδος.

ΧΡΕΊΑ 'στὶ δήμοις τοῖς γέρουσι δεσπότου·
ἐν σφίσι γὰρ αὐτοῖς οὐ ματεύουσιν νόμον.
ὤφελον ἐν ἄλλοις γεγονέναι μακρὰν χρόνοις·
χώρα γὰρ οὔτις ἔστιν ὧδ' ὅλως ἐμοί.
ὃ δέ μοι νεάνδρους φρένας ἐβουκόλει καλόν,
κεἰς ὃν πλανῆτις ἐλπὶς ἀστέρ' ἵπτατο,
οὐ πλοῦτος, οὐ τὰ τῆς τέχνης, οὐδ' ἦν ἔρως,
ἀλλὰ τὸ δίκαιον· νῦν τόδ' οὐκ εἶναι δοκῶ.
κάμνω δὲ κάρτα ταῖσδε ταῖς τυραννίσιν,
ἃς προσκυνοῦσιν οἱ τρέοντες μυρίοι,
ἡμεῖς δ' ἄνανδροι θηλυκῶς δ' ἀνάλκιδες
τῶν ἡμὶν ἐμπατούντων λείχομεν πόδας·
γέμει δὲ τὸ παρὸν ἀνοσίων μισημάτων,
τὸ δὲ μέλλον αἰνῇ στυγνόν ἐστ' ἀελπτίᾳ·
ἐνὸν ἄν μ' ἑλέσθαι 'που νεοχμόν μοι δέμας
ἔσται ποθ', ὧδέ γ' αὖθις οὐ γενήσομ' αὖ.
Ἅιδης δὲ λύσῃ τοῦθ' ὅταν τὸ σύνθετον,
ἔξω δὲ πηλοῦ με σπάσῃ γενεθλίου,
εἴ πού τις ἀστὴρ ἔστι τῶν ἐλευθέρων,
πόθοις ἐκείνου στέλλομαι κατ' αἰθέρα.

Paris. — Imp. Gauthier-Villars